# TEZAUR LITURGIC

## 28 NOIEMBRIE
## IRINARH THEODORU

# SLUJBA SF.MUCENIC IRINARH DE LA SEBASTA ARMENIEI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 28 ΝΟΕΜΒΡΙΟΥ

# Του αγίου μάρτυρος Ειρηνάρχου και των συν αυτώ μαρτυρησάντων Επτά αγίων Γυναικών και Ακακίου Πρεσβυτέρου

# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Αρχιμανδρίτου Ειρηνάρχου Θεοδώρου

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετά τον Προοιμιακόν, εις το «Κύριε εκέκραξα» ιστώμεν στίχους δ’ και ψάλλομεν τα εξής Προσόμοια. Ήχος δ’ . Έδωκας σημείωσιν.

Ήλιος ανέτειλας, εκ Σεβαστείας, τρισόλβιε, πάσαν κτίσιν εφώτισας, Ειρήναρχε ένδοξε, αθλητών ακρότης. Ριφείς εν καμίνω, εδοκιμάσθης ως χρυσός, και μαρτυρίου το στέφος έλαβες· διο σου την πανίερον και φωτοφόρον πανήγυριν, εορτάζομεν σήμερον, αθλητά γενναιότατε.

Αίματι λουόμενος, της καρτεράς σου αθλήσεως, τω Κυρίω παρέστησας, Ειρήναρχε ένδοξε, εαυτόν προσφέρων καθαράν θυσίαν, ιερωτάτην προσφοράν, και ιερείον, τέλειον, άμωμον· διο ταις ικεσίαις σου, της εκκλησίας το πλήρωμα , εν ειρήνη συντήρησον, αθλητά παμμακάριστε.

Ύδατι ριπτόμενος, μεγαλομάρτυς Ειρήναρχε, και πυρί δαπανώμενος, το πάντιμον σώμά σου, σώον ετηρήθη. Εις τέλος ετμήθης, την ιεράν σου κεφαλήν, συν Ακακίω τω σε βαπτίσαντι,

ομού συν Γυναιξί επτά, και βασιλείαν απέλαβες, την ουράνιον, ένδοξε, αθλοφόρε πανεύφημε.

Εξέλαμψε σήμερον, η θεία μνήμη σου όλβιε, και πιστών κατεφώτισε, συστήματα άριστα, των βροτών τας τάξεις. Ευφραίνεις παμμάκαρ, και καθηδύνεις αληθώς, πιστών καρδίας, προς σε βοώντων σοι· Ικέτευσον, Ειρήναρχε, τω σω Δεσπότη και Κτίστη σου, ίνα σώση εκ θλίψεως, και φθοράς τας ψυχάς ημών.

Δόξα. Ήχος πλ. β᾽ .

Σήμερον η πόλις της Σεβαστείας αγάλλεται, την του μάρτυρος μνήμην τιμώσα. Σήμερον των φιλεόρτων το σύστημα ευφραίνεται, ασπαζόμενον πόθω την του μάρτυρος εικόνα. Σήμερον η Εκκλησία καταστολίζεται, αίμασιν Ειρηνάρχου του πάνυ. Σήμερον η Οικουμένη πάσα πανηγυρίζει και ουρανός την γην επαινεί· ότι εύοσμον άνθος, τω Θεώ προσήνεγκε, τον καλλίνικον μάρτυρα, Ειρήναρχον τον θείον. Αυτού ταις ικεσίαις, Χριστέ ο Θεός σώσον τας ψυχάς ημών.

Και νυν. Θεοτοκίον. Προεόρτιον. Ήχος πλ. β΄.

Σιών πανηγύριζε, Ιερουσαλήμ ευφραίνου. Πόλις Χριστού του Θεού υπόδεξαι τον Κτίστην, εν Σπηλαίω και Φάτνη χωρούμενον. Ανοίξατέ μοι πύλας, εισελθών εν αυταίς, όψομαι τον ως βρέφος σπαργανούμενον, και τη δρακί συνέχοντα την κτίσιν· ον υμνούσιν Άγγελοι, ακαταπαύστω φωνή Ζωοδότην Κύριον, το σώζοντα τον γένος ημών.

Φως ιλαρόν. Καταξίωσον Κύριε.

Απόστιχα Ήχος β’ . Οίκος του Εφραθά.

Μάξιμον τον δεινόν, κατήσχυνας, τρισμάκαρ, του Πνεύματος δυνάμει, και άρας τον σταυρόν σου, Χριστώ κατηκολούθησας.

Στ.: Δίκαιος ως φοίνιξ ανθήσει και ωσεί κέδρος η εν τω Λιβάνω πληθυνθήσεται.

Ακάκιον κλεινόν, Ειρήναρχον τον θείον, και όμιλον Γυναίων, επτάριθμον υμνείσθω, η των πιστών ομήγυρις.

Στ.: Πεφυτευμένος εν οίκω Κυρίου, εν αυλαίς του Θεού ημών εξανθήσει.

Ύδατι και πυρί, μακάριε, εισέδυς, και αβλαβής εφάνης, εις τέλος απετμήθης, την κάραν σου πανόλβιε.

Δόξα. Τριαικόν.

Τριάδα την σεπτήν, ωμολόγησαν πάντες, οι άγιοι Κυρίου, του Πνεύματος τω σθένει, και βασιλείας έτυχον.

Και νυν. Θεοτοκίον. Προεόρτιον.

Η πόλις Βηθλεέμ, ευτρέπισον τω Κτίστη, το Σπήλαιον, την φάτνην, τα σπάργανα εν σοι γαρ, τεχθήναι παραγίνεται.

Νυν απολύεις. Τρισάγιον. Ότι σου εστιν…

Απολυτίκιον. Ήχος δ’ . Ταχύ προκατάλαβε. Γερασίμου.

Ειρηνης τον πρύτανιν, ομολογήσας πιστώς, της πλάνης τον τάραχον, κατέλιπες νουνεχώς, θεόφρον Ειρήναρχε· όθεν δι’ ύδατός τε, και πυρός ως διήλθες, έβης τροπαιοφόρος, προς ουράνιον λήξιν, ειρήνην και σωτηρίαν, πάσιν αιτούμενος.

Δόξα. Και νυν. Θεοτοκίον (Παρακλητική).

Το απ’ αιώνος απόκρυφον και Αγγέλοις άγνωστον μυστήριον· δια σου Θεοτόκε τοις επί γης πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, και Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος· δι’ ου αναστήσας τον πρωτόπλαστον, έσωσεν εκ θανάτου τας ψυχάς ημών.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εις το «Κύριε εκέκραξα» ιστώμεν στίχους στ’ , και ψάλλομεν τα εξής Προσόμοια. Ήχος δ΄. Ως γενναίον εν Μάρτυσι.

Φοινιχθείσαν εν αίματι, της σαρκός σου ενδέδυσαι, πορφυρίδα ένδοξε, θεία χάριτι, και κορυφή ση διάδημα, επαναδησάμενος, αφθαρσίας και ζωής, του Σταυρού σου το τρόπαιον, Μάρτυς πάνσοφε, δεξιά περιφέρων, ώσπερ σκήπρον, τω Χριστώ συμβασιλεύεις, δια παντός ευφραινόμενος.

Στρατιώτης αήττητος, εγνωρίσθης Ειρήναρχε, του Σταυρού το όπλον δε συμφραξάμενος, προς συμπλοκήν εξελήλυθας, εχθρού πολεμήτορος, και κατέρραξας αυτόν, αριστεύσας λαμπρότατα, και τον στέφανον, ειληφώς τον της νίκης, εκ του μόνου, Αθλοθέτου και Δεσπότου, και εις αεί βασιλεύοντος.

Τοις τιμίοις σου πάθεσι, πάθος τίμιον ένδοξε, αθλητά Ειρήναρχε εξεικόνισας, και νικηφόρος γενόμενος, την άνω μητρόπολιν, μετά πάντων κατοικείς, αθλοφόρε, γηθόμενος, και θεουμένος, κατά μέθεξιν θείαν, δια τούτο, την σεπτήν σου και αγίαν, επιτελούμεν πανήγυριν.

Έτερα γ' . Ήχος πλ. β' . Τριήμερος ανέστης Χριστέ.

Αγώνας του σεπτού αθλητού, τους πόνους του οπλίτου Χριστού, ευφημούντες κατά χρέος οι πιστοί, βοήσωμεν Κυρίω. Αυτού ταις ικεσίαις, πάσης ανάγκης εξελού ημάς.

Ειρήνη σοι πολλή εκ Θεού, αθλήσαντι γεγένηται, και τον σάλον διελθόντι των δεινών Ειρήναρχε παμμάκαρ, γενναίε στρατιώτα και πρεσβευτά των ευφημούντων σε.

Συνήθλει σοι γυναίων χορός, και παίδων θείος όμιλος, συν τω θείω Ακακίω καρτερώς, τελούντι τον αγώνα, και πλάνην εκνευρούντι, Μάρτυς Ειρήναρχε μακάριε.

Δόξα. Ήχος πλ. β' .

Τον αρχιποίμενα Χριστόν μιμησάμενος, και την νεότητά σου, μάρτυς, αρνησάμενος, την κεφαλήν σου τω δημίω παρέδωκας, την και ψυχήν σου χειρί Θεού εναπέθηκας.Διο πρέσβευε, θείε Ειρήναρχε, τω Πατρί και τω Υίώ και Πνεύματι τω Αγίω, την ειρήνην τω κόσμω δωρήσασθαι και τάις ψυχαίς ημών το μέγα έλεος.

Και νυν. Θεοτοκίον. Προεόρτιον. Ήχος πλ. β' . Βύζαντος.

Σπήλαιον ευτρεπίζου· η Αμνάς γαρ ήκει, έμβρυον φέρουσα Χριστόν. Φάτνη δε υποδέχου, τον τω λόγω λύσαντα, της αλόγου πράξεως, ημάς τους γηγενείς. Ποιμένες αγραυλούντες, μαρτυρείτε θαύμα το φρικτόν· και Μάγοι εκ Περσίδος, χρυσόν και λίβανον και σμύρναν, τω Βασιλεί προσάξατε· ότι ώφθη Κύριος εκ Παρθένου Μητρός·ον περ και κύψασα δουλικώς, η Μήτηρ

προσεκύνησε, και προσεφθέγξατο τω εν αγκάλαις αυτής· Πως ενεσπάρης μοι, η πως μοι ενεφύης, ο Λυτρωτής μου και Θεός.

Είσοδος, το Φως ιλαρόν, το Προκείμενον της ημέρας, και τα Αναγνώσματα.

Προφητείας Ησαΐου το Ανάγνωσμα. (Κεφ. 43, 9-14)

Τάδε λέγει Κύριος· Πάντα τα έθνη συνήχθησαν άμα και συναχθήσονται άρχοντες εξ αυτών. Τις αναγγελεί ταύτα εν αυτοίς; η τα εξ αρχής, τις ακουστά ποιήσει ημίν; Αγαγέτωσαν τους Μάρτυρας αυτών, και δικαιωθήτωσαν. Και ειπάτωσαν αληθή. Γίνεσθέ μοι Μάρτυρες, και εγώ Μάρτυς Κύριος ο Θεός, και ο παις, ον εξελεξάμην, ίνα γνώτε και πιστεύσητε, και συνήτε, ότι εγώ ειμι. Έμπροσθέν μου ουκ εγένετο άλλος Θεός, και μετ εμέ ουκ έσται. Εγώ ειμι ο Θεός, και ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα και έσωσα, ωνείδισα, και ουκ ην εν ημίν αλλότριος. Υμείς εμοί Μάρτυρες, και εγώ Κύριος ο Θεός, ότι απ' αρχής εγώ ειμι, και ουκ έστιν ο εκ των χειρών μου εξαιρούμενος. Ποιήσω, και τις αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι. Και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ' ημών πορεία σύντριμμα, οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα

ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών και βασιλεύσει αυτών Κύριος εις τους αιώνας, οι πεποιθότες επ' αυτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου, ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Ληψεται πανοπλίαν, τον ζήλον αυτού, και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, και περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Ληψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας, πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και

ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν, Βασιλείς, και σύνετε, μάθετε, δικασταί περάτων γης, ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών, ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ιδιόμελα. Ήχος α’ .

Το μαρτύριον των Τεσσαράκοντα μαρτύρων, των εν Σεβαστεία μαρτυρησάντων, το σον μαρτύριον, μάρτυς Ειρήναρχε, προετοιμάζει. Την Ζωαρχικήν Τριάδα ωμολόγησας, Αυτή εαυτόν σου παρέστησας, θύμα ευωδέστατον, θυσία καθαρά, δώρον πολύτιμον. Διο παρρησίαν ηύρες προς τον Φιλάνθρωπον Θεόν, αίτησαι Αυτώ δωρηθήναι τω κόσμω την ειρήνην, και ταις ψυχαίς ημών το μέγα έλεος.

Ήχος β’ .

Η μνήμη σου, μάρτυς, συνεκάλεσε ημάς τους φιλεόρτους σήμερον, εν τω πανσέπτω ναώ σου, ίνα ύμνοις και ωδαίς πνευματικαίς ανευφημήσωμεν, σε το του Χριστού θείον σφάγιον, ο επορφύρωσε, ταις ρανίσι του αίματος, το θείον τέμενος, και κατεκόσμησε την Εκκλησία του Χριστού. Διο Ειρήναρχε μάρτυς, έλαβες παρά Θεού,το στέφος το άφθιτον.

Ήχος γ’ .

Της νεότητος τα ηδέα κατεφρόνησας, και του Χριστού την αρίστην οδόν εβάδισας, τον σε αγαπήσαντα Θεόν ουκ ηρνήθης, αλλ’ υπέρ Αυτού το σον αίμα εξέχεας· διο πρέσβευε τω Κυρίω και Θεώ ημών,

υπέρ της του κόσμου ειρήνης, ως παρρησίαν έχων, μάρτυς Ειρήναρχε.

Ήχος δ’ .

Το του Κυρίου σου λόγιον· όστις ομολογήσει εν εμοί έμπροσθεν των ανθρώπων, ομολογήσω καγώ εν αυτώ έμπροσθεν του Πατρός μου του εν ουρανοίς, ουκ ηρνήσω·διο και μεγάλως διεκήρυξας Πατέρα Ανάρχον, Υιόν Συνάναρχον και Πνεύμα το Πανάγιον, Τριάδα Ομοούσιον. Και σε ομολογούντι Χριστόν Υιόν είναι Θεού, η σπάθη του δημίου την κάραν σου αφήρπασεν· διο και εύρες χάριν παρά Θεού, του θεραπεύειν πάσαν νόσον και πάσαν ασθένειαν, και τοις σοι προστρέχουσι πόθω δίδου την ειρήνην και το μέγα έλεος.

Δόξα. Ήχος γ’ .

Ύδατι ριφθείς, αβλαβής διέμεινας· εν πυρί εβλήθης δεδεμένος, αλλά το Πνεύμα το Άγιον, σώον σε διεφύλαξε, παναοίδημε Ειρήναρχε, εις καταισχύνην του αλάστορος·μανείς δε ο έπαρχος Μάξιμος, εκέλευσεν, αποτμηθήναι την κάραν σου.

Και νυν. Θεοτοκίον. Προεόρτιον.

Νυν προφητική πρόρρησις, πληρωθήναι επείγεται, μυστικώς η φάσκουσα· Και συ Βηθλεέμ γη Ιούδα, ουδαμώς υπάρχεις ελαχίστη εν τοις Ηγεμόσι, προευτρεπίζουσα το Σπήλαιον· εκ σου γαρ μοι εξελεύσεται, ηγούμενος των Εθνών δια σαρκός, εκ Παρθένου Κόρης Χριστός ο Θεός, ος ποιμανεί τον λαόν αυτού, τον νέον Ισραήλ.Δώμεν αυτώ άπαντες μεγαλωσύνην.

Εις τον Στίχον. Ήχος δ΄. Ως γενναίον εν μάρτυσιν.

Τον επτάριθμον όμιλον, γυναικών ανυμνήσωμεν, εις Χριστόν Ειρήναρχον οδηγήσαντα, και του Βελίαρ τα δόκανα, τρανώς συντριψάμενον τη δυνάμει του Σταυρού, εγκωμίοις και άνθεσι καταστέψωμεν, την αυτού θείαν μνήμην και στεφάνοις, τη εικόνι επιθείναι, δεύτε Χριστού, φιλομάρτυρες.

Στ.: Δίκαιος ως φοίνιξ ανθήσει και ωσεί κέδρος η εν τω Λιβάνω πληθυνθήσεται.

Τη κελεύσει του Πνεύματος, ο λευΐτης Ακάκιος, ευπειθώς εβάπτισε τον Ειρήναρχον, και ο διώκτης εγένετο, του Πνεύματος άγιον και δοχείον ιερόν, οδοδείκτης λαμπρότατος, την ουράνιον, του Θεού βασιλείαν ο δεικνύων, και την άνω πολιτείαν, εις ην πολίτης εγένετο.

Στ.: Πεφυτευμένος εν οίκω Κυρίου, εν αυλαίς του Θεού ημών εξανθήσει.

Εβαπτίσθης εν ύδατι, εν πυρί και εν αίματι, αθλητά Ειρήναρχε, γενναιότατε, τον Ιησούν ωμολόγησας, διδάξας τοις άφροσι τον αιώνιον Θεόν, και ψευδή εναπέδειξας τα σεβάσματα, των Ελλήνων, τρισμάκαρ, και την πλάνην, την ψευδόθεον ελέγξας, θεία δυνάμει του Πνεύματος.

Δόξα. Ήχος πλ. δ’ .

Δορυάλωτος Χριστού, γέγονας Ειρήναρχε, και έδεσμα ηδύ και σφάγιον ιερόν, τον εαυτόν σου προσενήνοχας τω Δεσπότη Χριστώ. Σύναθλος γενόμενος τω Ακακίω τω Πρεσβυτέρω τω σε βαπτίσαντι,

και επαρίθμω ομίλω Γυναικών, συν τω θείων Παίδων χορώ, την Εκκλησίαν του Χριστού κατερπορφύρωσας, τοις τιμίοις σου αίμασι. Και εν ουρανώ μετά Αγγέλων χοροβατείς, και αγίων συναγάλλεσαι· και τη Τριάδι συνομιλείς. Διο πρέσβευε, πνευματοφόρε αθλητά, τω Πανοικτίρμονι Θεώ, δωρηθήναι τω κόσμω ειρήνην, και ταις ψυχαίς ημών το μέγα έλεος.

Και νυν. Θεοτοκίον. Προεόρτιον. Ήχος πλ. δ’ .

Υπόδεξαι Βηθλεέμ, την του Θεού Μητρόπολιν, φως γαρ το άδυτον, επί σε γεννήσαι ήκει. Άγγελοι θαυμάσατε εν ουρανώ, άνθρωποι δοξάσατε επί της γης, Μάγοι εκ Περσίδος το τρισσόκλεον δώρον προσκομίσατε. Ποιμένες αγραυλούντες, τον τρισάγιον ύμνον μελωδήσατε. Πάσα πνοή αινεσάτω τον Παντουργέτην.

Νυν απολύεις. Τρισάγιον. Ότι Σου εστιν...

Απολυτίκιον. Ήχος δ’ . Ταχύ προκατάλαβε. Γερασίμου.

Ειρήνης τον πρύτανιν, ομολογήσας πιστώς, της πλάνης τον τάραχον, κατέλιπες νουνεχώς, θεόφρον Ειρήναρχε· όθεν δι’ ύδατός τε, και πυρός ως διήλθες, έβης τροπαιοφόρος, προς ουράνιον λήξιν, ειρήνην και σωτηρίαν, πάσιν αιτούμενος.

Δόξα. Και νυν. Θεοτοκίον (Παρακλητική).

Το απ’ αιώνος απόκρυφον και Αγγέλοις άγνωστον μυστήριον· δια σου Θεοτόκε τοις επί γης πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, και Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος· δι’ ου αναστήσας τον πρωτόπλαστον, έσωσεν εκ θανάτου τας ψυχάς ημών.

# ΟΡΘΡΟΣ

Μετά την α  Στιχολογίαν τα Καθίσματα.

Ήχος δ’ . Ταχύ προκατάλαβε.

Δημίου κατέλιπες την σπάθην, μάρτυς Θεού· Χριστώ ηκολούθησας θεία κελεύσει σοφέ, Ειρήναρχε ένδοξε. Έλαβες ως ρομφαίαν, τον Σταυρόν του Κυρίου· έκαυσας των ειδώλων την ψευδόθεον πλάνην, διο κατηξιώθης θείων ελλάμψεων.

Δόξα. Έτερον. Ήχος πλ. α’ . Τον συνάναρχον Λόγον.

Αρετών ταις ιδέαις καταστραπτόμενος, μαρτυρίω τω φέγγει ωραϊζόμενος, υπέρ ήλιον σοφέ, εκλάμπεις αδαμάντινε, και φωτίζεις αληθώς, τους εκτελούντάς σου πιστώς, την μνήμην την φωτοφόρον, Ειρήναρχε αθλοφόρε, και προσκυνούντας τα λείψανα.

Και νυν. Θεοτοκίον. Όμοιον. Προεόρτιον.

Βηθλεέμ ετοιμάζου τα προς υπάντησιν, της Παρθένου Μαρίας και Θεομήτορος, ιδού γαρ έρχεται προς σε, έμβρυον φέρουσα, τον συνάναρχον Πατρί, και τω Πνεύματι αεί, Χριστόν Ον εν τω Σπηλαίω γεννήσει, και μετά τόκον, Παρθένον πάλιν οφθήσεται.

Μετά την β’  Στιχολογίαν. Ήχος δ’ . Ο υψωθείς εν τω Σταυρώ.

Οι στρατιώται του Χριστού οι γενναίοι, αγωνισάμενοι καλώς τον Βελίαρ, ολοτελώς εβύθισαν αιμάτων ταις ροαίς· λίθοις δε συνθλώμενοι, και τεμνόμενοι ξίφει, και πυρί καιόμενοι, και εις ύδωρ βληθέντες, στεφανηφόροι ώφθησαν σαφώς όθεν τιμώνται και πίστει δοξάζονται.

Δόξα. Και νυν. Θεοτοκίον. Προεόρτιον.

Ήχος δ' . Ταχὺ προκατάλαβε.

Παρθένοι προεξάρξατε, τη της Παρθένου χαρά. Μητέρες αινέσατε, την προπομπήν της Μητρός, Χριστού του Θεού ημών. Μάγοι συν τοις Αγγέλοις, συν ημίν οι Ποιμένες·έρχεται γαρ εν πόλει, Βηθλεέμ του γεννήσαι, Υιόν τον προ αιώνων Θεόν, σώζοντα κόσμον φθοράς.

Μετά τον Πολυέλεον Κάθισμα. Ήχος α' .Τον τάφον σου Σωτήρ.

Το άνθος του Χριστού, τον Ειρήναρχον πάντες, υμνήσωμεν πιστοί, και δοξάσωμεν άμα, τον θείον Ακάκιον, και Γυναίων τον όμιλον, τους δοξάσαντας, την εκκλησίαν Κυρίου, και εκπλήξαντας, τας ουρανίους δυνάμεις, αυτών κατορθώμασιν.

Δόξα. Ήχος πλ. δ' . Την Σοφίαν και Λόγον.

Του δημίου το ξίφος καταλιπών, τον Σταυρόν του Κυρίου αναλαβών, Ειρήναρχε ένδοξε, των μαρτύρων απάνθισμα, των αθλητών ομόσκηνε, οικήτορ του Πνεύματος, Παραδείσου πολίτα, Αγγέλων συνόμιλε. Πάντες σοι βοώμεν οι πιστοί κατά χρέος· βοήθησον Άγιε, τους εις σε καταφεύγοντας, ταις λιταίς μεσιτείαις σου, πρέσβευε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, την ετήσιαν μνήμην σου.

Και νυν. Θεοτοκίον. Προεόρτιον.

Ήχος πλ. δ' . Το προσταχθέν μυστικώς.

Των Γενεθλίων του Χριστού τα προεόρτια, επιτελούντες οι πιστοί πανηγυρίσωμεν, και αξίως άπαντες προϋπαντήσωμεν, ως Μάγοι δωροφορούντες τας αρετάς, και άδοντες των Αγγέλων άσμα καινόν,

τω εκ Κόρης Θεόπαιδος, εν Βηθλεέμ άνευ σποράς, τικτομένω Θεώ ημών· ον δοξάζει τα σύμπαντα.

Είτα οι Αναβαθμοί. Το α' Αντίφωνον του δ' ἤχου.

Προκείμενον: Δίκαιος ως φοίνιξ ανθήσει και ωσεί κέδρος η εν τω Λιβάνω πληθυνθήσεται.

Στίχος: Πεφυτευμένος εν οίκω Κυρίου, εν αυλαίς του Θεού ημών εξανθήσει.

Ευαγγέλιον (Λουκ. ΚΑ , 12-19):

Είπεν ο Κύριος τοις εαυτού μαθηταίς· προσέχετε από των ανθρώπων...

Ο Ν ψαλμός.

Δόξα: Ταις του Αθλοφόρου... Και νυν: Ταις της Θεοτόκου...

Στ.: Ελεήμον, Ελέησόν με ο Θεός κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

Ιδιόμελον. Ήχος β' .

Αθλοφόρε Κυρίου, μεγαλομάρτυς Ειρήναρχε, γνήσιε μαθητά του αρχιποίμενος Χριστού· επιάνθη η γη τω αίματί σου τω τιμίω, και καρποφορήσασα εποίησε καρπούς εκατονταπλασίονας. Συ αθλητά, εδείχθης το προοίμιον των Τεσσαράκοντα Μαρτύρων· συν σοι δε συναγάλλονται και συμπροσεύχονται, υπέρ των ψυχών ημών.

Σώσον ο Θεός τον λαόν σου...

Ωδή α' Ήχος πλ. β'. Ως εν ηπείρω πεζεύσας

Εκ των σκανδάλων του βίου και των παθών, των παρενοχλούντων με, ειρηνεύσας μου τον νουν, Αθλητά Ειρήναρχε την σην, ευφημήσαι γαληνώς μνήμην αξίωσον.

Ιερονίκους στεφάνους ως Αθλητής, ειληφώς Ειρήναρχε, μετετέθης εκ της γης, προς ειρήνην άμαχον και φως, και ζωήν αληθινήν μακαριώτατε.

Ρείθροις αιμάτων την φλόγα των διωκτών, κατασβέσας ήρδευσας, διανοίας των πιστών, αναθάλλειν έρωτα ζωής, αιωνίου ευσεβώς Μάρτυς Ειρήναρχε.

Θεοτοκίον.

Η τον αχώρητον Λογον τη ση γαστρί, χωρηθέντα τέξασα, θεοχώρητε σκηνή, της στενοχωρούσης με δεινώς, τρικυμίας των κακών Αγνή απάλλαξον.

Ωδή γ'. Ουκ έστι άγιος ως συ.

Νευρούσαι σθένει θεϊκώ, και χωρείς προς αγώνας, θαρσαλέως παμμάκαρ, υπομένων αικισμούς, και στρέβλας των δυσμενών, αθλοφόρε, Μαρτυς γενναιότατε.

Ισχύν σοι δίδωσι Χριστός, Αθλοθέτης ο μέγας, διολέσαι την πλάνην, και αισχύναι τον εχθρόν, καυχώμενον αναιδώς, και εικαίως, Μάρτυς φρυαττόμενον.

Καθείλε πόνοις ανδρικοίς, τον αρχέκακον όφιν, ο χορός των Αγίων, εναθλήσας κραταιώς, και μάστιγας και δεσμά, υπομείνας, σθένει θείου Πνεύματος.

Θεοτοκίον

Ην είδε πάλαι Ιακώβ, από γης τεταμένην, προς ουράνιον ύψος, θείαν κλίμακα σαφώς, Μαρίαν το καθαρόν, του Δεσπότου, μέλψωμεν παλάτιον.

Κάθισμα. Ήχος δ' . Ο υψωθείς.

Γη και υγρά τους καρτερούς σου αγώνας, κατεμερίσθη Αθλητά γενναιόφρον, δι' ων της πλάνης έλυσας το φρύαγμα, και την υπερκόσμιον, μετά πάντων Μαρτύρων, δόξαν αιωνίζουσαν, εκληρώσω παμμάκαρ. Αλλ' υπέρ πάντων πρέσβευε Χριστώ, των σε τιμώντων, τρισμάκαρ Ειρήναρχε.

Δόξα. Έτερον. Ήχος δ' . Ταχὺ προκατάλαβε.

Ειρήνης συνώνυμος, μάρτυς Χριστού του Θεού, αξίως απείληφας παρά Δεσπότου Χριστού, το στέφος το άφθαρτον. Συ γαρ και ηγωνίσω υπέρ της αληθείας, ήλεγξας των ειδώλων την αυθάδειαν μάκαρ, διο αιτούμεν εν πίστει, ρύσαι τους δούλους σου.

Και νυν. Θεοτοκίον. Όμοιον. Προεόρτιον.

Ενθέως ευφραίνεται, η κτίσις σήμερον Χριστός γαρ ο Κύριος, ο του Θεού μου Υιός, εκ Κόρης γεννάται Αγνής άπαν το των ανθρώπων, γένος αθανατίζων, λύων και την κατάραν, της προμήτορος Εύας· διο ως Ευεργέτη ημών, άσμα προσάξωμεν.

Ωδή δ'. Χριστός μου δύναμις

Νομίμως έδραμες, νομίμως ήθλησας, και νομίμως εστέφθης τω του Θεού, νόμω κρατυνόμενος, και απαράτρωτον σαυτόν, συντηρών Μακαριώτατε.

Μη στέργων ένδοξε, τη πλάνη νήχεσθαι, τη θεογνωσία ως νουνεχής, χαίρων προσκεχώρηκας, φως νοερόν αναλαβών, και φωστήρ αποδεικνύμενος.

Ουδόλως έκρυψε, βυθός δεξάμενος, σε πανόλβιε Μάρτυς επεγνωκώς, θείων παθημάτων σε, παναληθέστατον Χριστού, όντα Μάρτυρα Ειρήναρχε.

Ιερουργούμεναι, και προθυόμεναι, και ξεόμεναι άμα και τω πυρί, πάντοθεν φλεγόμεναι, ουκ εξηρνήσασθε Χριστόν, Αθλοφόροι αξιΰμνητοι.

Θεοτοκίον

Παρθένος έμεινας, μετά την κύησιν, ώσπερ ης προ του τόκου, ότι Θεόν, Λογον απεκύησας, τον λυτρωσάμενον ημάς, μεσιτεία σου Πανάμωμε.

Ωδή ε’ . Τω θείω φέγγει σου αγαθέ.

Ρομφαία τέτρωται ο εχθρός, της υπομονής της καρτεράς, του γενναιόφρονος Μάρτυρος, και ταις τούτου πτέρναις καθυποτέτακται, και γέλως καθοράται και καταισχύνεται.

Ο πους σου έστη προφητικώς, Μάρτυς εν ευθύτητι σοφέ, απεριτρέπτω φρονήματι, καθυποσκελίζων τον πολυμήχανον, ταις τρίβοις μαρτυρίου καλλωπιζόμενος.

Συ την κακίαν των διωκτών, άκακος ακέραιος οφθείς, Μάρτυς απώσω Ειρήναρχε, και τη τελειώσει σου τη δι’ αίματος, στεφάνοις αφθαρσίας κατεστεφάνωσαι.

Θεοτοκίον

Νοήσας πόρρωθεν μυστικώς, ο των Προφητών θεολαμπής, χορός Παρθένε Θεόνυμφε, θείου τοκετού σου βάθος απόρρητον, συμβόλοις ιεροίς σε προδιεχάραξε.

Ωδή ς'. Του βίου την θάλασσαν.

Επέβης τοις ύδασι, κυβερνώμενος χερσι, ζωαρχική Ειρήναρχε, και διεσώθης τούτοις των διωκτών, βυθίσας σεβάσματα, προσευχή επιμόνω ιερώτατε.

Μικρών αντωνούμεναι, τα μεγάλα εαυτάς, τοις αικισμοίς εξέδωκαν, αι ιεραί Γυναίκες τον πτερνιστήν, της Εύας εν πνεύματι, θανατώσασαι όφιν τον αρχέκακον.

Οι παίδες οι άγιοι, ιερεία καθαρά, και προσφοραί ολόκληροι, τω τυθέντι ως θύμα αληθινώ, αμνώ προσηνέχθησαν, εις οσμήν ευωδίας αγαλλόμενοι.

Θεοτοκίον

Ιδού νυν σεσάρκωται, εξ αιμάτων σου αγνών, Παρθενομήτορ Κυριος, και τοις βροτοίς ενούται δίχα τροπής, δι' άφατον έλεος, την ημών σωτηρίαν εργαζόμενος.

Κοντάκιον. Ήχος πλ. δ' . Τη Υπερμάχω.

Εξ ουρανού την θείαν κλήσιν προσδεξάμενος, και των ειδώλων μάκαρ, πλάνην αρνησάμενος, της Τριάδος σκεύος τίμιον ανεδείχθης· αλλ' ως Μάρτυς του Χριστού μακαριώτατε, σαις πρεσβείαις εκ κινδύνων ελευθέρωσον, τους σοι κράζοντας· χαίρε, μάρτυς πολύαθλε.

Ο Οίκος.

Ήκουσας ουρανόθεν τον Θεόν σοι βοώντα, την κλήσιν της Αυτού σωτηρίας. Και ειδώλων εάσας τιμήν, προς Χριστόν ανέδραμες ταχύ Άγιε· και οι συνόντες έκθαμβοι γενόμενοι, υμνούντες είπον·

Χαίρε, μαρτύρων Χριστού το κλέος·

χαίρε, Αγίων Θεού η δόξα.

Χαίρε, μετανοίας της θείας υπόδειγμα·

χαίρε, καρτερίας στερρότατον στήριγμα.

Χαίρε, ότι των δαιμόνων κατεπάτησας ισχύν·

χαίρε, ότι των Αγγέλων κατεκόσμησας αρχήν.

Χαίρε, των αθλοφόρων το λαμπρότατον στέφος·

χαίρε, το των Μαρτύρων ευωδέστατο άνθος.

Χαίρε, φαιδρόν της πίστεως γνώρισμα·

χαίρε, πιστών λαμπρόν καταγώγιον.

Χαίρε, βροτών ιλαρά θυμηδία·

χαίρε, θνητών ιερά προσδοκία·

Χαίρε, μάρτυς πολύαθλε.

Συναξάριον.

Τη ΚΗ΄ του αυτού μηνός, μνήμη του Αγίου Μάρτυρος Ειρηνάρχου, και των συν αυτώ επτά Αγίων γυναικών, και Ακακίου Πρεσβυτέρου του και βαπτίσαντος αυτόν. Συν αυτοίς εμαρτύρησε και Παίδων θείος χορός.

Στίχοι.

Τον Ειρήναρχον η φονεύτρια σπάθη, Σω, Σώτερ, Ειρήναρχε συντάττει μέρει.

Ειρήναρχος κάτθανε εικάδι ογδοάτη ξίφει.

Εις τας επτά Γυναίκας.

Έδειξε νεκράς εν Σεβαστεία πόλει Γυναίκας επτά πανσεβάστους το ξίφος. Εικάδι ογδοάτη τάμε Γυναικών κάρας άορ.

Εις τον Ακάκιον.

Θύτης τε εν γη και ουρανώ υπάρχεις, Τον Θεόν επέτυχας τμηθείς την κάραν. Ογδοάτη εικάδι Ακάκιον άορ κατέπεφνεν.

Εις τους Παίδας.

Παίδων θείος όμιλος Θεόν εξύμνει, Αυτόν δε προσήνεγκε Θεώ η σπάθη.

Ανήβων παίδων δαμίου άορ ανείλε βίον.

Ωδή ζ'. Δροσοβόλον μεν την κάμινον ειργάσαντο.

Συμπαθείας της προς σάρκα διαζεύξας σου, τον νουν Μακαριώτατε, φλογιζόμενος και πυρί καιόμενος σοφέ, των Παίδων εβόας την ωδήν· Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Μεμακάρισται των παίδων θείος όμιλος, και γυναικών επτάριθμος, χορός άγιος, τους ξεσμούς, το πυρ, τους αικισμούς, στερρώς υπομείναντες ομού, και ουρανίων αγαθών καταξιούμενοι.

Απελαύνονται εκ μόνης σου προσκλήσεως, της πονηρίας πνεύματα, εγνωκότα σε Αθλητήν αήττητον Χριστού, Ειρήναρχε μέλποντα θερμώς· Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Θεοτοκίον

Ραθυμία με κρατούμενον διέγειρον, προς εργασίαν Άχραντε θείων πράξεων, ενισχύουσά με κατ' εχθρών, αεί πολεμούντων με δεινώς, και εναντίοις λογισμοίς, δελεαζόντων με.

Ωδή η'. Εκ φλογός τοις οσίοις δρόσον επήγασας.

Των αιμάτων τω λύθρω επισταζόμενος, και μαστίγων τω κάλλει καλλωπιζόμενος, τω Νικοποιώ, παραστάς ω Ειρήναρχε, νίκης τα βραβεία, προς τούτω εκομίσω.

Υψωθείς τη αγάπη του Παντοκράτορος, διωκτών επηρμένην οφρύν κατέαξας, και ειδωλικόν, εταπείνωσας φρύαγμα, Μάρτυς αθλοφόρε, Ειρήναρχε παμμάκαρ.

Συμπαθείας με θείας Μάρτυς αξίωσον, πειρασμών και κινδύνων απολυτρούμενος, πίστει σε θερμή, τον τιμώντα Ειρήναρχε, και υπό την σκέπην, την σην προσπεφευγότα.

Θεοτοκίον.

Χαίρε άγιον όρος και θεοβάδιστον, απορρήτων πραγμάτων χαίρε φανέρωσις, άκουσμα φρικτόν, δυσθεώρητον όραμα, χαίρε των πεσόντων, ανάκλησις Παρθένε.

Ωδή θ’. Θεόν ανθρώποις ιδείν αδύνατον.

Αυτό το έσχατον και ακρότατον, των εφετών κατείληφας θεόφρον Ειρήναρχε, και μεθέξει Θεός εχρημάτισας, ψάλλων συν Ασωμάτοις Άγιος, άγιος, άγιος, Τριας η παντουργός, και παντοδύναμος.

Ρυσθείς παγίδων των θηρευόντων σε, καλιάν ουράνιον κατέπαυσας Ένδοξε, και Μαρτύρων συνήφθης στρατεύμασι, μετά των σων

συνάθλων· όθεν γεραίρομεν μνήμην την υμών περιχαρώς, πανηγυρίζοντες.

Ισχύν και κράτος Χριστόν τιθέμενος, το χαλεπόν βασάνων διεπέρασας πέλαγος, και τους άνω λιμένας κατέλαβες, όλος ωραϊσμένος, όλος του Πνεύματος, ταις φωτοχυσίαις δαψιλώς, περιχεόμενος.

Θεοτοκίον

Νοείν το θαύμα το ακατάληπτον, του τοκετού του σου Παρθενομήτορ μη σθένοντες, σιωπή τούτο μάλλον δοξάζομεν, και σε δοξολογούμεν, την παμμακάριστον, μόνην και καλήν εν γυναιξίν, ω Παναμώμητε.

Εξαποστειλάριον. Ήχος γ΄. Ο ουρανός τοις άστροις.

Της Σεβάστειας γόνον, και των μαρτύρων καλλονήν, Ειρήναρχον τον γενναίον, συν Ακακίω ιερεί, και γυναιξί επταρίθμω, ύμνοις τιμήσωμεν πάντες.

Έτερον. Ήχος β’ . Γυναίκες ακουτίσθητε.

Πατέρα τον αγέννητον, Υιόν τον συναοίδιον, και Πνεύμα το Πανάγιον, καθωμολόγησας Μάρτυς, συν τοις σεπτοίς συνάθλοις σου, των θηρευτών κατέθραυσας, τα δόκανα πανόλβιε, και των μαρτύρων συνήφθης, στρατεύμασιν αθλοφόρε.

Θεοτοκίον. Προεόρτιον.

Πιστοί τα προεόρτια, των Γενεθλίων άσματα, νυν προηχήσωμεν πίστει· έρχεται ήκει γαρ Χριστός, εν Βηθλεέμ του τεχθήναι, ως

βροτός εκ Παρθένου, και οραθήναι νήπιος, σπαργάνοις ενειλημένος· ο προ αιώνων υπάρχων.

Εις τους Αινούς. Ήχος δ’ . Ως γενναίος εν μάρτυσι.

Ως καλώς στρατευσάμενοι, Βασιλεί των Δυνάμεων, εαυτούς πανεύφημοι παρεδώκατε, εθελουσίως εις μάστιγας, και βίαιον θάνατον, επαγόμενοι χορούς, συμμαρτύρων Μακάριοι, μεθ’ ων εύρατε, το μακάριον τέλος, και στεφάνους, ανεδήσασθε της νίκης, υπέρ ημών, ικετεύοντες. (Δις)

Ανενδότως τυπτόμενοι, και πυρί δαπανώμενοι, και κρηπίσι πάντοτε καθηλούμενοι, και εν οδοίς ελαυνόμενοι, ειρκτή συγκλειόμενοι, και ως θύμα καθαρόν, ταις εσχάραις οπτόμενοι, προσηνέχθητε, δι’ ημάς τω τυθέντι, ως ευώδη, ιερεία και τη άνω, τραπέζη Μάρτυρες ένδοξοι.

Και χειρών Παναοίδιμοι, και ποδών τε στερούμενοι, κεφαλάς τεμνόμενοι και στρεβλούμενοι, και πάσαις άλλαις κολάσεσι, καθυποβαλλόμενοι, ουκ ηρνήσασθε Χριστόν, ου ξοάνοις εθύσατε, αλλά χαίροντες, εκ ζωής της προσκαίρου, Αθλοφόροι, προς ουράνιον και θείαν, μετεβιβάσθητε εύκλειαν.

Δόξα. Ήχος, πλ. β’ .

Της Σεβάστειας γόνος λαμπρός, και της Οικουμένης αστήρ τρισμέγιστος, υπάρχεις αληθώς, μάρτυς Ειρήναρχε, καταλαμπών της γης τα πέρατα δια του μαρτυρίου σου,και της γενναιότατης ομολογίας σου, ότι εστί ο Χριστός, ο Θεός ημών και κτίστης των απάντων καταυγάζεις συν τοις συνάθλοις σου, την Εκκλησίαν του

Χριστού, και φαιδρύνεις τας ψυχάς των Ορθοδόξων· διο πρέσβευε τω Ειρηνάρχη Θεώ, υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον. Προεόρτιον. Ήχος πλ. β' . Βύζαντος.

Ανύμφευτε Παρθένε, πόθεν ήκεις; Τις ο τεκών σε; Τις και η Μήτηρ σου; Πως τον Κτίστιν φέρεις εν αγκάλαις; Πως ουκ εφθάρης την νηδύν; Μεγάλων χαρισμάτων επί σοι, φρικτών μυστηρίων επί γης τελουμένων, ορώμεν Παναγία, και προευτρεπίζομεν επάξιόν σοι χρέος, επί γης το Σπήλαιον και ουρανόν αιτούμεν, παρασχείν τον αστέρα· και Μάγοι, δε προέρχονται, από Ανατολών της γης, εις Δυσμάς θεάσασθαι, την σωτηρίαν των βροτών, ως βρέφος γαλουχούμενος.

Δοξολογία Μεγάλη.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑ**

Τα Τυπικά, οι Μακαρισμοί, και εκ του Κανόνος του Αγίου η γ' καὶ η στ' ᾠδή. Το Εισοδικόν το Απολυτίκιον του Αγίου και το προεόρτιον Κοντάκιον.

Απόστολος:

Προκείμενον: Ευφανθήσεται δίκαιος εν Κυρίω...

Στίχος: Εισάκουσον ο Θεός της φωνής μου...

Προς Ρωμαίους Επιστολής Παύλου το Ανάγνωσμα. (Κεφ. ΣΤ , 18-23): Αδελφοί, ελευθερωθέντες από της αμαρτίας...

Ευαγγέλιον. Εκ του κατά Ιωάννην. (ΙΕ 17- ΙΣΤ 2):

Είπεν ο Κύριος τοις εαυτού μαθηταίς. Ταύτα εντέλλομαι υμίν, ίνα αγαπάτε αλλήλους...

Μεγαλυνάρια. Εις το Ειρήναρχον.

Ειρήναρχον άπαντες οι πιστοί, υμνήσωμεν ύμνοις και προσπέσωμεν εκτενώς, ίνα μεσιτεύση, προς την σεπτήν Τριάδα, δωρήσασθαι τω κόσμω, το μέγα έλεος.

Εις τον όμιλον των Γυναικών.

Επτάριθμον όμιλον Γυναικών, αξίως τιμάσθω η πανήγυρις των πιστών, τη σεπτή εικόνι, προσπέσωμεν βοώντες· ταις σαις λιταίς πρεσβείαις, άπαντας ρύσαθαι.

Εις τον Ακάκιον.

Πρεσβύτα Κυρίου και αθλητά, Ακάκιε μάκαρ, των μαρτύρων άνθος τερπνόν· δυσώπησον Πάτερ, Τριάδα την Αγίαν, ίνα τον κόσμον ρύση του πολεμήτορος.

Εις τον Παίδων όμιλον.

Φιλέορτοι δράμωμεν ευσεβώς, τιμήσωμεν θείον, Παίδων όμιλον ιερόν, του Πνεύματος σθένει, καθείλε των δαιμόνων, το ψυχοφθόρον μένος, και την αναίδειαν.

Κοινωνικόν: Εις μνημόσυνον αιώνιον...

Δίστιχον:

Ειρήναρχος έψαλεν ωδήν σοι Μάρτυς·

ειρήνην, Ειρήναρχε, δίδου τω Ειρηνάρχω.

